## ΦΡΑΓΚΙΣΚΩ ΤΩ ΤΗΣ ΦΡΑΓΚΙΑΣ ΒΑΣΙΛΕΙ, ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ, ΜΟΝΑΡΧΩΝ ΤΩ ΠΑΝΥ ΣΕΒΑΣΜΙΩ Χ' ΙΕΡΟπρεπεῖ, Αἰγίδιος ὁ Βουρδῖνος εὖ πράττειν καὶ τὰ δόξαντα ἐπιτελεῖν.

Πᾶσι μὲν ὁ ἀνθρώπινος νοῦς, ὦ μέγα δυνάμενε καὶ ἀξιοπρεπέστατε βασιλεῦ, τοιοῦτόν τι θείως πως πάσχει, καὶ τοῦτο δὴ χρῆμα ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις, καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν καὶ ἐνεχάραξεν, ὥστε τῶν ἀνδρῶν ἕκαστον τότε μεγίστην τινὰ ὑπερβολὴν καὶ τελειοτάτην ἡδονὴν παραλαβεῖν καὶ ἀρύσασθαι, ὅταν τοῦ προαιρεθέντος πράγματος, καὶ προπονηθέντος ἔργου τινὰ καρπὸν καὶ ἀποτελείωσιν εὐτυχῆ ἐφορᾷ. Καὶ γὰρ, ὥς φασιν οἱ φιλόσοφοι, ἐν πᾶσιν ἔργοις τὸ τέλος καὶ ἀποτέλεσμα μάλιστα πάντων περισκοπούμενον καὶ τὸ οὗ ἕνεκα, ὡς προσαγορεύει ὁ Ἀριστοτέλης, βέλτιστον, καὶ τέλος τῶν ἄλλων ἐν τέλει εἶναι. Ἐπὶ τούτῳ δὲ λογισμῷ τῶν βασιλέων καὶ μοναρχούντων τοὺς μὲν πολλοὺς μεγίστων ἅψασθαι πραγμάτων θεώμεθα, ἵνα τὴν δόξαν, ὡς τελικὴν τῆς ἐπιχειρήσεως ἑαυτῶν αἰτίαν, τοῖς ἐπιγινομένοις καταλίποιεν, καὶ τοὔνομα αὐτῶν διὰ τῶν εὐτυχημάτων καθάπερ τῇ μνήμῃ τῶν ἀνθρώπων καθιερώσαιεν. Ἑτέρους δὲ προαιρουμένους ἐπὶ τὸ τὰς βασιλείας αὐτῶν καὶ μοναρχίας πᾶσι τοῖς ἔθνεσιν ἐνδοξοτέρας καὶ ἀνθηροτέρας παρέχειν, πάντας κινδύνους ὑπομείναντας, καὶ πᾶν μέρος τοῦ σώματος ἑαυτῶν, καὶ τὴν ψυχὴν αὐτὴν προεμένους. Ἐκείνους δὲ, πάντας τότε μόνοι ἐπιστάμεθα μεγίστην καὶ ἀληθεστάτην εὐφροσύνην ἀνελέσθαι, ὅτε τὸ τέλος προαιρεθὲν καὶ προοραθὲν, καὶ τὴν δόξαν τῷ ὀνόματι καὶ τῇ βασιλείᾳ ἑαυτῶν ἐφιδρυμένην καὶ ἐπικειμένην ἑωράκασι. Ταῦτα δὲ γνωριμώτατα ὄντα, ὦ βασιλεῦ, τοῖς ἀξιολόγων ἀνδρῶν παραδείγμασιν οὐκ ἄξιον ἐπαυξάνειν, ἀλλὰ καὶ ἐπὶ τοῖς μικροῖς οὐ μεμπτὸν ἐπιδείξασθαι. Καὶ γὰρ γινώσκομεν ἡμεῖς καὶ τοὺς γεωμόρους καὶ γεωπόνους γεωργοῦντάς τε τότε μέγιστα χαίρειν, ὅταν ἐπιθεῶνται τινὰ καρπὸν ἢ ἀπαρχὰς τοῦ ἱδρῶτος ἑαυτῶν. Καὶ οὕτω δῆλόν ἐστι παροξύνεσθαι τοιούτῳ νεανικῷ καρπῷ, ὥστε εἰς τὸν ἐπιγινόμενον ἐνιαυτὸν ἔτι μετὰ μείζονος σπουδῆς καὶ ἐρρωμενέστερον ἐφίστασθαι τοῖς ἑαυτῶν πόνοις, καὶ ὥσπερ δὴ μελίσσας τοῖς ἑαυτῶν ἔργοις καὶ κηρίοις ἀδιαλείπτως προσλιπαρεῖν καὶ ἐπικύπτειν τοῦ ἔτι καρπώσασθαι τοὺς ἑαυτῶν πόνους δύνασθαι. Τούτοις δὲ ἐπαρθέντες, ὦ σεβάσμιε βασιλεῦ, παρ' ἡμῖν ἀκριβῶς ὑπελογισάμεθα τὴν σὴν ὑπερβολικὴν φιλομουσίαν, καὶ ὡς σεμνῶς καὶ βασιλικῶς τὴν σου βασιλείαν τῶν τῶν ῥητόρων γε καὶ φιλοσόφων καὶ πανσόφων ἀνδρῶν διατριβαῖς διακοσμεῖν καὶ λαμπρὰν καθίστασθαι τὸ παράπαν ἠθέλησας. Καὶ ἐν τούτῳ τῇ προξενίᾳ γενναιοτάτῃ χρησάμενος τοῦ ἐπισκόπου καὶ ἀρχιερέως τῶν Ματισκονέων πάντας ἀριθμοὺς τῆς ἐγκυκλοπαιδείας περιλαβόντος οὕτω ἐπιφανῶς καὶ ἀξιοπρεπῶς προσῳκείωσας σαυτὸν, ὥστε μηδεμίαν δωρεὰν ἐπιλιπεῖν, καὶ μηδέποτε φείδεσθαι χρημάτων, τοῦ τῶν γραμμάτων ἔξοχόν τινα διάθλησιν καὶ διαγυμνασίαν ἐν πάσαις τῆς βασιλείας σου πόλεσι καταστῆσαι. Ἡμεῖς δὲ τούτων δὴ πάντων λογισμὸν ποιησάμενοι, τοιοῦτόν τι διενοησάμεθα ἀχαριστίας σημεῖον μέγιστον εἶναι καὶ διαβολὴν δικαιοτάτην, εἰ τοιούτου εὐεργετήματος χάριν τινὰ οὐ παρέχοιεν, οὐδ' ἀνταμείβοιντο οἱ δοῦλοι σου. Καὶ ἔτι οὕτω ἔπεισα ἐμαυτὸν σε μέγα καὶ βασιλικὸν φρονοῦντα ἐπὶ τοῖς τῆς ἀρετῆς ἔργοις βασιλέα, οὐκ ἄν ποτε ἡδονήν τινα ἀνταξίαν τῶν πόνων σου ἀπολήψεσθαι εἰ μὴ καρπόν τινα ἀνατεθηλότα τῆς διακριβοῦς γεωργίας σου ἐπίδοις, καὶ ἀποσκίασμά τι τοῦ ἀποτελέσματος μετὰ ταῦτα γινωσκομένους, ὡς μὴ μάτην τοὺς τοιούτους πόνους ἀναλῶσαι δοκῇς. Διὰ ταῦτα ἔγωγε καίπερ θαρραλεώτερον, ὅμως γέμων γενναῖόν τι πνέων, τοῦτο δὴ τὸ βιβλίον ὥσπερ νέοντι φυτοῦ καὶ βλάστημα τῆς γεωργίας σου ἀναθέσθαι ἠθέλησα, ὅπως σύ τινα καρπὸν τοῦ ἱδρῶτος σου ἐπιθεᾶσθαι οἷός τε ᾖς. Καὶ ἐκ τούτου τεκμήριόν σε τόδε μέγιστον συλλέξεσθαι ἐνόμισα, ὅτι εἴπερ ἐγὼ ἐν δικαστηρίοις τε καὶ ἀγοραῖς καλινδούμενος καὶ στρεφόμενος τοιούτου τινὸς ἐλαφροῦ ἔργου, καίπερ μικρᾶς διερμηνεύσεως ἅψασθαι ἐπεχείρησα, ὅσα δὴ ἀποτελέσαι καὶ τούτων μείζονα καὶ ἐπιφανέστερα δύναιντο οἱ φιλόσοφοι ὑπὸ σοῦ αἱρεθέντες, οἱ συνεχῶς τοῖς ἑλληνικοῖς ἐνδιατρίβοντες, καὶ οὐδενὶ ἄλλῳ ἢ τοῖς γράμμασιν ἐπιθυμητικῶς προσκεκυφότες. Ἔργον δὲ τοῦτο σύ, ὦ βασιλεῦ μέγιστε, ἴσως ὑπαναιδὲς καὶ φαῦλον νομίσεις, τὸ τὸν κελτικὸν ἄνδρα τὰ ἑλληνικὰ ἑλληνικῶς διερμηνεῦσαι. ἀλλὰ τοιοῦτον δὴ αἴτιον ἐγένετο, ὅτι ὁ Ἀριστοφάνης παλαιὸς δὴ καὶ ἐνδοξότερος τῶν κωμικῶν σχολιαστοῦ γενναίου ἐπιτυχὼν ἐπὶ πάσαις ἑαυτοῦ κωμῳδίαις, ἐν ταύτῃ μόνῃ καὶ τῇ Λυσιστράτῃ ἀπέτυχεν. διὰ τοῦτο οὐκ ἀνάξιον οὐδὲ μεμπτὸν εἶναι ἔδοξε τὸν Κελτὴν ἢ Φράγκον ἄνδρα ὑπὸ σοῦ διδαχθέντα Ἕλληνα κωμῳδοποιὸν ἑλληνικῇ διαλέκτῳ διερμηνεύειν. Καὶ γὰρ ἐπιδείξειν ἐν μικρῷ διενοησάμην τὴν ἐμαυτοῦ εὐχαριστίας ὑπερβολὴν, καὶ πρὸς τούτοις, ὅσον ἐν τῇ σαυτοῦ βασιλείᾳ, διὰ τὴν σου φιλοχρηστίαν τε καὶ φιλοδωρίαν καὶ φιλοκαλίαν τῶν μουσῶν θέατρον ἀνεπήγνυας καὶ κατέστησας.

Ἔρρωσο κύριε ἐπιεικέστατε καὶ σεβασμιώτατε, καὶ διὰ βίου εὐημέρει. ἐκ Παρισίων, ἔτει ἀπὸ θεογονίας χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ.

ΥΠΟΘΕΣΙΣ